Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vjk-ae

*Ἱππιατρικὰ τὰ ἀνώνυμα* · Hippiatric Compilation Anonymous

# Fragments of Timotheus of Gaza

*Ἀποσπάσματα Τιμοθέου τοῦ Γάζης*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

**Ἵππων φύσεις κατὰ ἔθνο ς . Ἀρμένιοι ἵπποι κατὰ σῶμα μὲν εὐμεγέθεις εἰσί, χρεμετιστικοί, πλατύνωτοι, ῥάχιν ὑπέρσαρκοι, προτομὴν οἱ μὲν ἐπίγρυποι, οἱ δὲ βοώδεις.**

2 Ἄρ [ρ ]αβες δὲ οἱ πρὸς τῷ ὄρει τῆς Ἰνδικῆς εὐμεγέθεις, φοίνικες, ὡς ἐπίπαν εἰπεῖν, τὴν χροιάν, ὑψαύχενες, τὴν προτομὴν σύμμετρον καὶ εὔρυθμον ἔχοντες, τὴν κεφαλὴν [καὶ] ἡνομένην σχεδὸν τῷ τοῦ ἱππέως μετώπῳ, κυδροὶ καὶ δυσγαργάλιστοι, πολὺ τὸ τῆς ἱπποτυφίας ἔχοντες ὑπερήφανον, ὀξεῖς σφόδρα, ποδώκεις, γόνατα ὑγροί, τῇ ὁρμῇ τοῦ δρόμου ὅλους ἑαυτοὺς ἐπιδιδόντες, πηδῶντες κούφως μᾶλλον ἢ τρέχοντες, γοργοὶ τὸ βλέμμα, τὴν ἶριν κεκραμένην καὶ ὑδαρεστέραν ἔχοντες, τοὺς κενεῶνας συνεσταλμένοι καὶ τὸ ἄλλο σῶμα ἰσχνοὶ καὶ οὐ κεχυμένοι, 〈τὴν〉 ῥάχιν κοίλην ἔχοντες, πρὸς τὸ καῦμα μὴ ἀπαγορεύοντες, τῷ ἡλίῳ μᾶλλον χαίροντες, τὴν χαίτην εὐφυεῖς, τὴν δίαιταν εὐτελεῖς, ἐμβριθεῖς τὰ ἄλλα, ἀβιάστως τὰς διαβάσεις ποιούμενοι. Βαρκαῖοι μήκιστοι τὰ ἐκ τοῦ κενεῶνος εἰς τοὺς ὠμοπλάτας.

3 τούτοις μόνοις ἵππων ἡ φύσις μείζους ἐδωρήσατο πλευράς, σπάθας γὰρ ἔχουσιν δεκατρεῖς, τῶν ἄλλων ἵππων ἐχόντων δώδεκα. Δαλμάται Ἀρμένιοί μοι δοκοῦσι καὶ Φρύγες.

4 εἰσὶ δὲ ἐμβριθεῖς, τὴν ῥάχιν κοίλην ἔχοντες, διὰ δὲ τῶν ἰσχίων πλατεῖς, ἡμερώτατοι καὶ εὐπειθέστατοι μέγιστοί τε καὶ κάλλιστοι καὶ τῷ φρονήματι ἀνδρειότατοι. οὐ μὴν γίνονται πολλοὶ τοιοῦτοι. Θετταλοὶ μέγεθος μέν εἰσι σύμμετροι, πλευρὰς ἀσαρκότεροι, γαστέρα [οὐκ] ἰσχνώμενοι, τὸν κενεῶνα βραχεῖς, τράχηλον περιφερεῖς, ὀξεῖς τὴν καθέδραν, τὰ νῶτα ἰσοτενεῖς.

6 Κενταύρειοί τινες ἵπποι καλοῦνται ἐν Θετταλίᾳ, ὧν ἡ ῥάχις μετρίως κεκοίλωται εἰς ἀσφαλῆ καθέδραν τοῦ ἱππέως. Γάλλοι φίλυδροι, θυμώδεις, φιλότιμοι καὶ φιλόνεικοι.

8 Ἴβηρες 〈δὲ〉 μικροὶ 〈ὡς ἄτροφοι〉 καὶ θηρατικοί, πιστεύονται δ’ οὗτοι ἀπ’ ἀγρίων ἵππων γεγονέναι, [διὸ καὶ βραχεῖς τὸ σῶμα,] λεῖοι, [μικρῶς ἄτροφοι, θηρατικοί] ὀξεῖς πρὸς δρόμον, βαδίσαι δὲ ἀφυεῖς. Καππαδόκαι Ἀρμένιοί μοι εἶναι δοκοῦσιν καὶ Φρύγες κατὰ τὰ αὐτὰ τοῖς Δαλμάταις.

9 εἰσὶν 〈δὲ〉 παρ’ αὐτοῖς ἐπὶ πολὺ τοιοῦτοι γινόμενοι. Λύδιοι μεγάλοι τὰ σώματα καὶ κάλλιστοι, τὴν κεφαλὴν προμήκεις, εὐρύστερνοι, ὄμμα μαλακοί, τὴν ἶριν οἰνωποί, εὔκομοι,

τὴν οὐρὰν λάσιοι, τὸ ἦθος ἀπειθεῖς καὶ ἐριστικοί, δυσχείμεροι, ἁπαλοὶ τὴν σιαγόνα, ἀγχέμαχοι ἀγαθοὶ καὶ ζυγὸν ὑποδῦναι ἄριστοι.

11 Λίβυες ὀφθῆναι μὲν ἀπρεπέστατοι καὶ μικροὶ τὰ σώματα, εὔδρομοι δὲ καὶ λιτοί, κάτω βλέποντες, [ἀχαλίνωτοι γάρ εἰσι] φέρουσι γὰρ καὶ ἀχαλίνωτοι [εἶναι]. Λευκανοὶ φαῦλοι, μικροὶ τὸ σῶμα, δυσειδεῖς τὸ χρῶμα, αἰσχροὶ τὰς ὄψεις, ὑπὸ ζυγὸν δὲ ἐργατικώτατοι.

13 Μῆδοι μέσοι τὸ μέγεθος, ὦτα μικρά, κεφαλὴν οὐχ ἱππικὴν ἔχοντες, οὐ φοβεροί, πρὸς δὲ τὸ καῦμα ἀπαγορεύοντες διὰ δύσπνοιαν ῥᾳδίως. Μαυρούσιοι 〈δὲ〉 ἀνέκπληκτοι πρὸς δόρατα καὶ σάλπιγγας, ὠκύτατοι, εὐάγωγοι, ῥάβδῳ γοῦν κατιθύνονται διὰ τὸ πείθειν, ἥκιστα δὲ βουλιμιῶσι καὶ δίψης ἀνέχονται.

15 Νησαῖοι μέγιστοι τὸ σῶμα, ὑγρότατοι, ὑψαύχενες, εὔσαρκοι, εὐπειθεῖς, τοῖς ποσὶ τὴν γῆν κροτοῦντες. Ὀδρύσαι Θρᾳκῶν ὀλίγον βελτίους, μεγάλοι τὸ μέγεθος, χαλεποὶ τιθασσεύεσθαι, δηκτικώτατοι, ἄρρηκτοι τὰς ὠμοπλάτας.

17 Σικελοὶ ταὐτὸν ἂν ἦσαν τοῖς Λευκανοῖς * * , ἀχθέντες δὲ ἄμφω καλοὶ γένοιντ’ ἄν. Σαυρομάται ἄριστοι, μείζους Ἰβήρων εἰσίν, οὐ μὴν εὐσαρκότεροι, ἀνάγωγοι δέ.

19 Ὑρκανοὶ ἐξόφθαλμοι, σκιρτητικοί, τὸν ἀναβάτην, εἰ πέσοι, περιμένοντες, ὑγροσκελεῖς, πολεμικοί, ἁμιλληθῆναι δυνάμενοι, χιλοσιτοῦσι δὲ μᾶλλον, κριθοφάγοι ἢ πυροφάγ〈οι οὔκ εἰσι, παντοφαγ〉οῦσιν, ὅ τι τῇ πόᾳ καὶ τῷ χόρτῳ πρόσεστιν. ὁ πῶλος πλήρης ἀλγοί. γένοιντο δ’ ἄν τινες κάλλισται παιδοτρόφοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org